Ἀλκιβιάδῃ, ὅτι ψυχή ἐσμεν καὶ ψυχὴ ἡ λογική· ὀφείλομεν κατορθῶσαι τάς τε πολιτικὰς αὐτῆς ἀρετὰς καὶ τὰς καθαρτικάς· οὐκοῦν ἐπειδὴ δεῖ τὰ πολιτικὰ πρότερον εἰδέναι, ἀναγκαίως οὗτος ὁ διάλογος μετ' ἐκεῖνον ἀναγινώσκεται καὶ μετὰ τοῦτον ὁ Φαίδων, ὡς ἔχων τὰς καθαρτικάς.

7 ἰστέον δὲ ὅτι ἰδίως εἴρηται τῆς πολιτικῆς εἶδος ἡ δικαιοσύνη καὶ ἡ σωφροσύνη· δεῖ γὰρ εἰδέναι, ὅτι πᾶσαι μὲν αἱ ἀρεταὶ συμβάλλονται, μάλιστα δὲ αὗται· διὰ γὰρ τοῦτο τούτων ἀεὶ τῶν δύο μέμνηται ὡς ἀμελουμένων παρὰ τοῖς ἀνθρώποις. τὰς γὰρ ἄλλας δύο, εἰ καὶ μὴ ὁλοσχερῶς, ὁμῶς εἰδωλικῶς καὶ ψευδωνύμως θέλουσιν εἰδέναι φρονίμους ἑαυτοὺς λέγοντες, ὅθεν φασί· φρόνιμός ἐστιν, οἶδε κερδάναι, ὡσαύτως καὶ ἐπὶ ἀνδρίας. αἱ δὲ δύο αὗται ἀμελοῦνται. χρεία δὲ αὐτῶν, ἐπειδὴ διὰ πάντων τῶν μορίων τῆς ψυχῆς χωροῦσιν. ὥσπερ γὰρ ὁ τὸ οἰκεῖον πράττων ἔργον ἐν τῇ πόλει καὶ τὰ πρὸς ἀξίαν ἑκάστῳ ἀπονέμων λέγεται δίκαιος, οὕτως καὶ ἐν τῇ ψυχῇ δικαιοσύνη κρατεῖ τοῦ λόγου τὸ οἰκεῖον πράττοντος καὶ τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας. εἰ δὲ τοῦτο καὶ σωφροσύνη ἐστὶν ἑκάστου μέρους τοῦ ἀλλοτρίου μὴ ἐρῶντος.

8 ἄξιον λοιπὸν ζητῆσαι τὸν ἀριθμὸν καὶ τὴν ἀναλογίαν τῶν προσώπων· πέντε τοίνυν παραλαμβάνεται πρόσωπα Σωκράτης Χαιρεφῶν Γοργίας Πῶλος Καλλικλῆς. ἀναλογεῖ τοίνυν ὁ μὲν Σωκράτης τῷ νοερῷ καὶ ἐπιστημονικῷ, ὁ δὲ Χαιρεφῶν τῷ ὀρθοδοξαστικῷ, ὁ δὲ Γοργίας τῷ διεστραμμένῳ, οὗτος γὰρ οὐ πάνυ ἦν κατακρατηθεὶς τῇ ἀδικίᾳ ἀλλ' ἀμφιβόλως εἶχεν, εἰ πεισθείη ἢ μή, ὁ δὲ Πῶλος τῇ ἀδικίᾳ καὶ τῷ μόνως φιλοτίμῳ, ὁ δὲ Καλλικλῆς τῷ ὑώδει καὶ φιληδόνῳ. ἀποροῦσι δέ τινες διὰ ποίαν αἰτίαν οἱ μὲν ῥήτορές εἰσι τρεῖς, οἱ δὲ

21 mg.

| | | |
|---|---|---|
| δ' προσώπων ἀναλογία | ἀναλογοῦντα | ἀναλογούμενα |
| | Σωκράτης | νοερὸν καὶ ἐπιστημονικόν |
| | Χαιρεφῶν | ὀρθοδοξαστικόν |
| | Γοργίας | διεστραμμένον καὶ δόξαν |
| | Πῶλος | ἄδικον καὶ φιλότιμον |
| | Καλλικλῆς | ὕωδες καὶ φιλήδονον |

28 mg. ἀπορία

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408547804/13 UNIVERSITÄT LEIPZIG